




1817
ARTES
SCIENTIA
VERITAS
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
TUEBOR
SI QUÆRIS PENINSULAM AMŒNAM
CIRCUMSPICE



ARISTOPHANIS

ECCLESIAZUSAE

RECENSUIT

ADOLPHUS VON VELSEN.



LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXXIII.

ARISTOPHANIS

ECCLESIAZUSAE

RECENSUIT

ADOLPHUS VON VELSEN.



LIPSIAE
IN AED[illegible] B. G. TEU[illegible]
[illegible]XXXIII.



LIPSIAE, TYPIS B. G. TEUBNERI

FRIDERICI RITSCHL


OTTONIS JAHN

THEOPHILI WELCKER

PRAECEPTORUM OPTIMORUM

DIVIS MANIBUS

S.



LIPSIAE, TYPIS B. G. TEUBNERI

FRIDERICI RITSCHL

OTTONIS JAHN

THEOPHILI WELCKER

PRAECEPTORUM OPTIMORUM

DIVIS MANIBUS

S.

Praefatio.

Codices, quibus in Ecclesiazusarum fabula recensenda usus sum, hi sunt:

1) Ravennas (*R*), membranaceus, forma quadrata maiore, foliorum 191, saeculo XI exaratus. Ab initio folia nonnulla madore corrupta sunt. Fabulas Aristophanias, quae quidem aetatem tulerunt, continet integras et scholia scripta manu diversa. Haec manus, fere suppar aetate primae manui, multis locis correctricis munere functa est (R^2). Ceterum affirmat Albertus Martin in libro illo summa cura et diligentia confecto, qui inscribitur: Les Scolies du manuscrit d'Aristophane à Ravenne étude et collation par M. Albert Martin, ea scholia, quae leguntur ad Plutum, Nubes, Ranas, Aves, Pacem fabulas, ab *R* i. e. ab eadem manu picta esse, quae ipsum comoediarum textum exaravit.

2) Parisinus (*A*), membranaceus, inter Brunckii regios 2712, forma quadrata maiore, scriptus saeculo XIII, foliorum 320, quorum ea, quae sunt a 215 usque ad finem codicis, et 107—110 (quibus Pluti vv. 485—783 leguntur) continent Aristophanis Plutum, Nubes, Ranas, Equites, Aves, Acharnenses, Ecclesiazusarum partem priorem. Singulae lineae binos versus exaequant. Insunt scholia, rara illa ad Plutum et Ranas, paullo uberiora ad Nubes, nulla ad Equites, Acharnenses, Aves, Ecclesiazusas. In Aristophane duae discernuntur correctorum manus, quarum altera minio et appinxit notas personarum et nonnullis locis correctricis munere functa est. Praeterea alia manus correctrix aperte recentior multis locis per poetae verba vagata est. Leguntur autem in hoc codice praeter illas fabulas Aristophanias Euripidis Hecuba, Orestes, Phoenissae, Andromache,

Medea, Hippolytus, Sophoclis Aiax, Electra, Oedipus tyrannus, Antigone, Oedipus Coloneus, Trachiniae, Philoctetes. Quae fabulae Euripidis et Sophoclis ab alia manu exaratae sunt atque ea, quae Aristophanis comoedias pinxit.

3) Parisinus (*B*), chartaceus, inter Brunckii regios 2715, forma quadrata minore, saeculo exaratus XVI, paginarum 219. Continet Equites, Acharnenses, Aves, Vespas, Lysistratam, Ecclesiazusas (usque ad versum 1136), Pacem. Nulla insunt scholia. In Ecclesiazusis et Pace desunt etiam notae personarum. Una correctoris dignoscitur manus.

4) Florentinus (*Γ*) bombycinus, plut. 31 cod. 15, forma maiore, foliorum 166, saeculo XIIII scriptus. Singulae lineae binos versus exaequant. Continet is liber Euripidis fabulas quattuor: Hippolytum, Medeam, Alcestidem, Andromachen; Aristophanis (inde a folio 69) sex: Acharnenses, Ecclesiazusas (usque ad versum 1136), Equites, Aves (usque ad v. 1419), Vespas ab initio et in fine mutilam (v. 421—1397 et 1494 usque ad finem comoediae), Pacem item mutilam (v. 377—1298). Altera manu pictae sunt Acharnenses, Ecclesiazusae, Vespae, Pax, altera Equites et Aves: item duae distinguuntur manus correctrices. Scholia satis, si ab Ecclesiazusis recesseris, frequentia exstant in marginibus et ante initia fabularum.

Ceterum codex archetypus, ex quo transcriptus est *Γ*, in mediis versibus ad novam personam indicandam habuisse videtur bina puncta (:). Quem usum cum *Γ* codicis librarius non perspiceret, exortae sunt eiusmodi scripturae velut v. 1065 *καθίστη: ἄλλη γραῦς: ποι* v. 147 *λέγειν: ἐγώ.* v. 192 *ἀλλ' οὐκ ἂν εἶπον: μὴδ' ἐθίζου ναῦ λέγειν* vv. 437—440 *εἶναι πανοῦργον: σέ: μή πουτ' ἐρῆ: κἄπειτα κλέπτην: ἐμὲ μόνον: | και νὴ δία: και συκοφάντην: ἐμὲ μόνον: και νὴ δία: | τῶνδὶ τὸ πλῆθος: τίς δὲ τοῦτ' ἄλλως λέγει* vv. 776 et 777 *ὁ ζεύς σέ γ' ἐπιτρίψειεν: ἐπιτρίψουσι γάρ: οἴσειν δοκεῖς τιν': ὅστις αὐτῶν νοῦν ἔχει·* aliis locis permultis. Ceterum cfr. ea, quae de interpungendi notis a manu secunda correctis in codicis *N* descriptione afferam.

5) Monacensis (*N*), chartaceus, Nr. 137, forma maiore, foliorum 127, scriptus XV saeculo. Continet Aristophanis Plutum, Nubes, Ranas, Ecclesiazusas (fol. 2—105r), deinde Dionysii orbis descriptionem (fol. 106r—127r). Nulla insunt

scholia. *A* duabus manibus diversis atque illis quidem aetate supparibus exaratus est. Altera manus Aristophanis comoedias, altera Dionysii descriptionem orbis exaravit. Duae autem in Ecclesiazusis occurrunt manus correctrices, una, quae et ipsa atramento pinxit, raro, altera, quae minio usa est, permultis locis. Atque saepissime prima manus pro interpungendi nota binis punctis (:) usa est, quae passim manus altera (N^2) atque illa eadem, quae personarum notas adscripsit, minio in singula puncta (·) correxit. Ita v. 31 *κεκόκκυκκεν*: I m., in *κεκόκκυκκεν*. corr. II m., v. 42 *φιλαινέτην*: I m., in *φιλαινέτην*. corr. II m., v. 84 *τάλαινα*:, (sic) I m., in *τάλαινα*. corr. II m., v. 147 *λέγειν*:, I m., in *λέγειν*. corr. II m., v. 156 *ἔχεις*:, I m., in *ἔχεις*. corr. II m. (exstat nunc *ἔχεις*:;), v. 327 *γειτνιῶν*; I m., in *γειτνιῶν*. corr. II m. (exstat nunc *γειτνιῶν*;· atramento pictum; minio ·), v. 582 *θεαταῖς*:· I m., in *θεαταῖς*. corr. II m. (exstat nunc *θεαταῖς*:··), v. 335 *φράσαι*; I m., in *φράσαι*. corr. II m., v. 621 *δείσης*: I m., in *δείσης*. corr. II m., *μαχοῦνται*:, I m., in *μαχοῦνται*. corr. II m. Cuius rei exempla permulta in hoc codice inveniuntur.

In fine codicis (fol. 127r) haec est subscriptio: *μιχαῆλος ἀποστόλης βυζάντιος, μετὰ τὴν ἅλωσιν τῆς ἱερᾶς πατρίδος αὐτοῦ, πενία συζῶν, καὶ τόδε τὸ βιβλίον ἐξέγραψεν, οὐκ ἄνευ μέντοι μισθοῦ*: —

†πλουτοδότηρος γεώργιε παῖ σοφίης ἐρατεινε·
κόσμε τε κυδαλίμοιο φίλης σέο πατρίδος αἴης·
χάρμα τε δόξα τε πουλυπαθῶν γονέων φιλοπαίδων.
μεῖο τε πηγῆς ἀντλήσας πολυήρατον χεῦμα·
χαῖρ' ἀρδευτὰ μακάρτατε ἠλυσίου λειμῶνος·
λίσσεο καὶ ἡμέας μετὰ σεῖο (γε) *πάντας ἐσεῖσθαι*: —

†ἰχθὺς κατέπι' ἰωνᾶν, προστάξει πνεύματος ἁγίου. προμη — νύων ἔγερσιν χριστοῦ τὴν τριήμερον: —

Ceterum manu Michaeli Apostolis sola Dionysii descriptio orbis exarata est, sed eadem manus etiam in Aristophanis comoediis nonnullis locis correctricis munere functa est et versus aliquot in ipso contextu omissos in margine supplevit. In Ecclesiazusis autem nulla huius manus sunt vestigia.

Iam ex discrepantia scripturae apparet ex duobus fontibus

diversis hinc *R* et *N*, illinc *B* et *Γ* codices fluxisse. Monacensem (*N*) autem ex Ravennate (*R*) non transcriptum esse pro certo affirmari potest. Videtur autem, quantum ex Blaydesii editione colligere possum, ipsa enim Aldina mihi non praesto est, Aldina ex codice fluxisse, qui Monacensi simillimus erat.

Scribebam Hanoviae Cal. Mart. a. MDCCCLXXXIII.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΕΚΚΛΗΣΙΑΖΟΥΣΑΙ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΠΡΑΞΑΓΟΡΑ.
ΓΥΝΗ Α.
ΓΥΝΗ Β.
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.
ΒΛΕΠΥΡΟΣ.
ΑΝΗΡ Α.
ΑΝΗΡ Β.
ΚΗΡΥΚΑΙΝΑ.
ΓΡΑΥΣ Α.
ΓΡΑΥΣ Β.
ΓΡΑΥΣ Γ.
ΝΕΑΝΙΣ.
ΝΕΑΝΙΑΣ.
ΘΕΡΑΠΑΙΝΑ.

Index personarum deest in *RABΓ*. — *τὰ* (*τ* minio et a II m.) *τοῦ δράματος πρόσωπα*: (min. corr. II m. in·) *Γυνὴ* (*Γ* min. et a II m.) *τίς πραξαγόρα*: (min. corr. II m. in .) *ἑτέρα* (*ἑ* min. et a II m.) *γυνὴ*: (min. corr. II m. in .) *χορὸς*: (min. et a II m. pictum *χ* et : corr. in .) *ἀνὴρ* (*ἀ* min. et a II m.) *τίς*: (min. corr. II m. in .) *ἕτερος* (*ἕ* min. et a II m.) *ἀνὴρ βλέπυρος*: (min. corr. II m. in .) *ἕτερος* (*ἕ* min. et a II m.) *ἀνὴρ ἀπὸ ἐκκλησίας χρέμης*: (min. corr. II m. in ·) *ἄλλος* (*ἄ* min. et a II m.) *ἀνὴρ φειδωλὸς*: (min. corr. II m. in·) *κῆρυξ*· (min. et a II m. pictum *κ* et · corr. in.) *Γραῦς*· (min. et a II m. pictum *Γ* et · corr. in.) *ἑτέρα* (*ἑ* min. et a II m.) *νέα*· (corr. · min. et a II m. in .) *θεράπαινα*: (min. et a II m. pictum *θ* et : corr. in .). Deinde sequitur minio a II m.: *ἀριστοφάνους ἐκκλησιάζουσαι N*

ΥΠΟΘΕΣΕΙΣ.

I.

Αἱ γυναῖκες συνέθεντο πάντα μηχανήσασθαι εἰς τὸ δόξαι ἄνδρες εἶναι καὶ ἐκκλησιάσασαι πεῖσαι παραδοῦναι σφίσι τὴν πόλιν, δημηγορησάσης μιᾶς ἐξ αὐτῶν. αἱ δὲ μηχαναὶ τοῦ δόξαι αὐτὰς ἄνδρας εἶναι τοιαῦται. πώγωνας περιθέτους καὶ ἀνδρείαν ἀναλαμβάνουσι στολήν, προνοήσασαι καὶ προασκήσασαι τὸ σῶμα αὐτῶν, ὡς ὅτι μάλιστα ἀνδρικὸν εἶναι δόξαι. μία δὲ ἐξ αὐτῶν Πραξαγόρα λύχνον ἔχουσα προέρχεται κατὰ τὰς συνθήκας καὶ φησίν, ὦ λαμπρὸν ὄμμα.

II.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἐν τοῖς Σκίροις τὰ γύναι' ἔκρινεν ἐν στολαῖς
ἀνέρων προκαθίζοντα, γενομένης ἐκκλησίας,
περιθέμεναι πώγωνας ἀλλοτρίων τριχῶν.

SCRIPTURAE DISCREPANTIA.

I et II argumentum desunt in *B* ‖ I argumentum secundo loco est in *Γ* et *N* ‖ v. 1 *αἱ* minio A^2 *α* in *αἱ* minio N^2 ‖ v. 2 *ἄνδρας Γ* | *ἐκκλησιασασθαι Γ* | *σφῖσι A* | *τὴν* corr. ex *τῆν A* ‖ v. 3 *μηχαναῖ R* ‖ v. 4 omm. *ἄνδρας εἶναι ΑΓ* | *περιθετοὺς ΑΓ* | *ποιοῦνται·* (*ποιοῦνται, N*) *καὶ ἀνδρείαν ΑΓΝ* ‖ v. 5 *ἀναλαμβάνονται ΑΓ* | *προασκήσασαι καὶ προνοήσασαι* tr. *RΑΓΝ* ‖ v. 6 *αὑτῶν* (pro *αὐτῶν*) *RΑΓΝ* | *δὴ* (pro *δὲ*) *R* ‖ v. 8 *φησὶ Γ* | *ὡ* (pro *ὦ*) *R* ‖ secuntur: *τὰ τοῦ δράματος πρόσωπα* :· in *N*.

II argumentum deest in *R* et *A* | priore loco est in *Γ* et *N* ‖ *ἀριστοφάνους ἐκκλησιάζουσαι*: *Γ ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις* :· minio N^2 ‖ v. 1 *E* (in *Eὐ*) minio N^2 | *ἔκρινε ΓΝ* | *ἐν* omm. *ΓΝ* ‖ v. 2 *προκαθέζοντα Γ* ‖ v. 3 *παραθέμενα Γ παραθέμεναι N*

ἐποίησαν οὕτως. ὑστεροῦντες οὖν στολαῖς
ἄνδρες γυναικῶν ἐκάθισαν· καὶ δὴ μία
δημηγορεῖ περὶ τοῦ λαβούσας τῶν ὅλων
τὴν ἐπιτροπὴν βέλτιον ἄρξειν μυρίῳ·
ἐκέλευσέ τ' εἰς κοινὸν φέρειν τὰ χρήματα
καὶ χρῆσθ' ἅπασιν ἐξ ἴσου ταῖς οὐσίαις,
καὶ ταῖς γυναιξὶ μετατίθεσθαι τοὺς νόμους.

SCRIPTURAE DISCREPANTIA.

v. 7 *μυρίων ΓΝ* ‖ v. 8 *φέρον Γ* ‖ v. 9 *χρῆσθαι ΓΝ* *ἐξίσου Ν* ‖ v. 10 *τοῖς* (pro *ταῖς*) *Γ* ‖ sequitur altera hypthesis *ἄ* (minio *Ν*²) *λλως αἱ γυναῖκες συνέθεντο ΓΝ* ‖ verba ita distributa sunt, ut singuli versus finiantur vocabulis: *ἐκκλησίας* | *ἄνδρες* | *βέλ* (in *βέλτιον*) | *ταῖς* | *νόμους Γ* — *προκαθί* (in *προκαθίζοντα*) | *πώγωνας* | *στο* (in *στολαῖς*) | *δημηγορεῖ* | *ἄρ* (in *ἄρξειν*) | *χρῆ* (in *χρῆσθ'*) | *μετατί* (in *μετατίθεσθαι*) | *νόμους Ν*

ΕΚΚΛΗΣΙΑΖΟΥΣΑΙ.

ΠΡΑ. Ὦ λαμπρὸν ὄμμα τοῦ τροχηλάτου λύχνου
κάλλιστον εὐστόχοισιν ἐξηυρημένον,
γονάς τε γὰρ σὰς καὶ τύχας δηλώσομεν·
τροχῷ γὰρ ἐλαθεὶς κεραμικῆς ῥύμης ὕπο
μυκτῆρσι λαμπρὰς ἡλίου τιμὰς ἔχεις·
ὅρμα φλογὸς σημεῖα τὰ ξυγκείμενα.
σοὶ γὰρ μόνῳ δηλοῦμεν, εἰκότως, ἐπεὶ

ADNOTATIO CRITICA.

v. 2 *κάλλιστον* Westonius. — *ἐξηυρημένον* Dobraeus. — v. 4 *ὕπο* Kusterus.

SCRIPTURAE DISCREPANTIA.*

Personarum notae a manu secunda minio appictae sunt in *A* et in *N* ‖ v. 1 *ΠΡΑ.*] — *R* *πραξαγορα* *N* omm. *ΑΒΓ* sed inter v. 1 et v. 2 appictum *πραξαγόρα* in *A* | Ὦ] ὦ minio A^2 Ω" minio N^2 omm. *ΒΓ* | *τροχηλάτου*] *τραχηλάτου* *ΒΓ* ‖ v. 2 *κάλλιστον*] *κάλλιστ' ἐν* *RΑΒΓΝ* | *εὐστόχοισιν*] *εὐσκόποισιν* *ΑΒΓΝ* (*ευστόχοισιν* *R*) | *ἐξηυρημένον*] *ἐξητημένον* *RΑΒΓΝ* ‖ v. 3 *γονάς τε*] *γονὰς τὲ* *ΑΓ* | *σὰς*] *δισσὰς* *ΑΒΓ* ‖ v. 4 *τροχῷ*] *τρόχῳ* *ΑΒΓ* *τροχῶ* *Ν* | *κεραμικῆς*] corr. ex *καιραμικῆς* in *R* | *ὕπο*] *ἄπο* *RΑΒΓΝ* ‖ v. 5 *λαμπρὰς*] *λαμπρᾶς* *R* | *τιμὰς*] *τιμᾶς* *R* ‖ v. 6 *ὅρμα*] *ὅρμα* *R* | *ξυγκείμενα*] corr. ex *ξυγκειμένα* in *R* ‖ v. 7 *μόνῳ*] *μόνω* *ΑΒΓΝ*

---

* in scripturae discrepantia non adnotabo: 1) interpungendi notas, nisi illae, id quod raro usu venit, ad ipsam verborum sententiam constituendam maioris erunt momenti; 2) spiritus qui vocantur vel accentus sola librarii neglegentia omissos, velut *και*; 3) accentus graves quos vocant ante interpungendi signum non in accentus acutos mutatos, velut *καὶ*, (pro *καί*,); 4) accentus acutos in cursu orationis in graves non mutatos, velut *ἐγώ δὲ* (pro *ἐγὼ δὲ*) vel *ἐπεὶ δέ τοῦτο* (pro *ἐπεὶ δὲ τοῦτο*); 5) accentus graves etiam in paenultima vel antepaenultima syllaba vocabuli positos, velut *ὢστε*.

κἀν τοῖσι δωματίοισιν Ἀφροδίτης τρόπων
πειρωμέναισι πλησίον παραστατεῖς,
λορδουμένων τε σωμάτων ἐπιστάτην
ὀφθαλμὸν οὐδεὶς τὸν σὸν ἐξείργει δόμων.
μόνος δὲ μηρῶν εἰς ἀπορρήτους μυχοὺς
λάμπεις, ἀφεύων τὴν ἐπανθοῦσαν τρίχα·
στοάς τε καρποῦ βακχίου τε νάματος
πλήρεις ὑποιγνύσαισι συμπαραστατεῖς·
καὶ ταῦτα συνδρῶν οὐ λαλεῖς τοῖς πλησίον.
ἀνθ' ὧν συνείσει καὶ τὰ νῦν βουλεύματα,
ὅσα Σκίροις ἔδοξε ταῖς ἐμαῖς φίλαις.
ἀλλ' οὐδεμία πάρεστιν ἃς ἥκειν ἐχρῆν.
καίτοι πρὸς ὄρθρον γ' ἐστίν· ἡ δ' ἐκκλησία
αὐτίκα μάλ' ἔσται· καταλαβεῖν δ' ἡμᾶς ἕδρας,
ἃς Φυρόμαχός ποτ' εἶπεν, εἰ μέμνησθ' ἔτι,
δεῖ, τὰς δ' ἑτέρας πως ἐγκαθεζομένας λαθεῖν.
τί δῆτ' ἂν εἴη; πότερον οὐκ ἐρραμμένους

ADNOTATIO CRITICA.

v. 17 *συνείσει* Bisetus. — v. 23 *δ'* post *τὰς* e coniectura adieci cfr. v. 281. — *ἑτέρας* Iuntina. — *ἐγκαθεζομένας* Scaliger vid. scholium ad versum 1.

SCRIPTURAE DISCREPANTIA.

v. 8 *κἀν*] *κἂν Γ* | *τοῖσι*] corr. ex *τοῖς* in *B* *τοῖς* est in *ΑΓ* | *δωματίοισιν*] *δοματίοισιν R* | *Ἀφροδίτης*] ex *ἀφροδέτης* corr. *R²* | *τρόπων*] *τρόπω ΑΒ* ‖ v. 9 *πλησίον*] *πλησίως R πλησίος ΒΓΝ* ‖ v. 10 *λορδουμένων*] corr. ex *λοροδουμένων* in *Α* | *τε*] *τὲ ΑΓ* ‖ v. 11 *ὀφθαλμὸν*] *ὀφθαλμὸς ΑΒΓ* | *οὐδεὶς*] *οὐδεῖς R* | *ἐξείργει*] *ἐξείρ Γ* | *δόμων*] *δόμον Β δόμῳ Γ* ‖ v. 11 post v. 12 legitur in *R*, iustum ordinem restituit *R²* ‖ v. 12 *μόνος*] corr. ex *μονὸς* in *R* | *μυχοὺς*] *μυκοὺς R* ‖ v. 14 *στοάς*] *στοᾶς RΑΓΝ* (*στοὰς Β*) | *τε*] *τὲ R* | *βακχίου*] corr. in *βακχείου R²* | *τε*] *τὲ ΑΒΓ* ‖ v. 15 *πλήρεις*] *πλήρης ΑΒΓ* ‖ v. 16 *λαλεῖς*] *λαλοῖς Γ* ‖ v. 17 *ἀνθ' ὧν*] *ἀνθῶν Γ* | *συνείσει*] *συνοίσει RΑΒΓΝ* | *τὰ*] corr. *R²* ex *τα* ‖ v. 18 *ἔδοξε*] *ἔδοξεν R* ‖ v. 19 *οὐδεμία*] *οὐδὲ μία ΑΝ* ‖ v. 20 *καίτοι*] *καὶ τοι ΑΝ* | *ὄρθρον γ'*] *ὀρθρόν γ' R ὄρθρον Β* | *ἐστίν*] *ἔστιν Α* | *ἡ δ'*] *ἢ δ' R* ‖ v. 21 *δ'*] om. *Ν* | *ἕδρας*] corr. ex *ἔδρας* in *R* ‖ v. 22 *ἃς*] *ἀσ R* | *Φυρόμαχός*] *σφυρόμαχός ΑΒΓΝ* (*ἃς κλεόμαχος*· lemma scholii in *R*) ‖ v. 23 *τὰς δ' ἑτέρας*] *τὰς ἑταίρας RΑΒΓΝ* | *πως*] *πῶς RΝ* omm. *ΑΒΓ* | *ἐγκαθεζομένας*] *κωλαθιζομένας R καθαγιαζομένας ΑΒΓ κἀγαθιζομένας Ν* | *λαθεῖν*] *πως λαθεῖν ΑΒΓ* ‖ vv. 24—26 omissi sunt in *ΑΒΓ* ‖ v. 24 *ἐρραμμένους*] *ἐρραμένους Ν*

ἔχουσι τοὺς πώγωνας, οὓς εἴρητ' ἔχειν;
ἢ θαἰμάτια τἀνδρεῖα κλεψάσαις λαθεῖν
ἦν χαλεπὸν αὐταῖς; ἀλλ' ὁρῶ τονδὶ λύχνον
προσιόντα. φέρε νυν ἐπαναχωρήσω πάλιν,
μὴ καί τις ὢν ἀνὴρ ὁ προσιὼν τυγχάνῃ.
ΚΟΡ. ὥρα βαδίζειν, ὡς ὁ κήρυξ ἀρτίως
ἡμῶν προσιόντων δεύτερον κεκόκκυκεν.
ΠΡΑ. ἐγὼ δέ γ' ὑμᾶς προσδοκῶσ' ἐγρηγόρη
τὴν νύκτα πᾶσαν. ἀλλὰ φέρε, τὴν γείτονα
τήνδ' ἐκκαλέσωμαι, θρυγονῶσα τὴν θύραν.
δεῖ γὰρ τὸν ἄνδρ' αὐτῆς λαθεῖν. ΓΥ. Α. ἤκουσά
τοι
ὑποδουμένη τὸ κνῦμά σου τῶν δακτύλων,
ἅτ' οὐ καταδαρθοῦσ'. ὁ γὰρ ἀνήρ, ὦ φιλτάτη,
Σαλαμίνιος γάρ ἐστιν ᾧ ξύνειμ' ἐγώ,
τὴν νύχθ' ὅλην ἤλαυνέ μ' ἐν τοῖς στρώμασιν,
ὥστ' ἄρτι τουτὶ θοἰμάτιον αὐτοῦ 'λαβον.

ADNOTATIO CRITICA.

v. 32 *ἐγρηγόρη* Porsonus. — v. 40 *'λαβον* scripsi vestigia codicum, maxime *R*², secutus.

SCRIPTURAE DISCREPANTIA.

v. 25 *τοὺς πώγωνας*] *τὰς πώγωνας R* ‖ v. 26 *ἢ θαἰμάτια*] *εἴθ' αἱμάτια* (*αἱμάτια* etiam lemma scholii) *R ἤσθ' αἱμάτια N* ‖ v. 27 *ἦν*] *ἢν N* | *ὁρῶ*] *ὁρᾷ R* | *τονδὶ*] *τὸν δὶ RN* ‖ v. 28 *φέρε*] corr. ex *φερε R*² | *νυν*] *νῦν RABΓN* | *ἐπαναχωρήσω*] corr. ex *ἐπ' ἀναχωρήσω* in *R* ‖ v. 29 *προσιὼν*] *προσιῶν R* | *τυγχάνῃ*] *τυγχάνεις RAΓN τυγχάνη B* ‖ v. 30 *ΚΟΡ.*] — *R γυνή τις A γυνὴ τίς N* omm. *BΓ* | *κήρυξ*] *κῆρυξ RN* ‖ v. 31 *κεκόκκυκεν*] *κεκόκκυκκεν N* ‖ v. 32 *ΠΡΑ.*] — *R* omm. *BΓ* | *δέ γ' ὑμᾶς*] in ras. sunt, sed a prima manu in *B δ' ὑμᾶς* est in *AΓ δὲ γ' ὑμᾶς N* | *ἐγρηγόρη*] *εγρηγορεῖν R ἐγρηγορεῖν AΓN ἐγρηγόρουν B* ‖ v. 33 *ἀλλὰ φέρε*] corr. ex *ἀλλα φε R*² ‖ v. 34 *τήνδ'*] *τῆν δ' R τὴν δ' N* | *ἐκκαλέσωμαι*] *ἐκκαλέσομαι AΓ ἐκκαλεσσομαι B* | *θρυγονῶσα*] corr. ex *θρυγωνῶσα N τρυγονῶσα BΓ* (et lemma scholii in *R*) *τρυγανῶσα A* ‖ v. 35 *ΓΥ. Α.*] : *R γυνή ΓN* omm. *AB* ‖ v. 36 *κνῦμά σου*] *κνῦμα σου A κνῆμα σου B κνύμα σου N* ‖ v. 37 *καταδαρθοῦσ'*] *καταθοῦσ' Γ* | *ἀνήρ*] *ἀνὴρ* corr. ex *ανὴρ R*² ‖ v. 38 *γάρ ἐστιν*] *γὰρ ἐστιν AΓ* | *ᾧ*] *ὦ RABΓN* ‖ v. 39 *τοῖς στρώμασιν*] *τοῖς στρώμασι Γ τοισ στρώμασιν* corr. ex *τοισ τρώμασιν* in *R* ‖ v. 40 *τουτὶ*] corr. ex *τοῦτὶ* in *R* | *θοἰμάτιον*] *θοιμάτιον* corr. ex *θοἰμάτιον* (sic) *R θοιμὰτιον* est in *A θ' οἰμάτιον BN θοιμάτιον Γ* | *αὐτοῦ 'λαβον*] *αὐτοῦ λαβὼν R* corr. in *αὐτ' οὔλαβον R*² *αὐτοῦ λαβὼν* est in

ΠΡΑ. καὶ μὴν ὁρῶ καὶ Κλειναρέτην καὶ Σωστράτην
παριοῦσαν ἤδη τήνδε καὶ Φιλαινέτην.
ΚΟΡ. οὔκουν ἐπείξεσθ'; ὡς Γλύκη κατώμοσεν
τὴν ὑστάτην ἥκουσαν οἴνου τρεῖς χόας
ἡμῶν ἀποτίσειν κἀρεβίνθων χοίνικα. 45
ΓΥ. Α. τὴν Σμικυθίωνος δ' οὐχ ὁρᾷς Μελιστίχην
σπεύδουσαν ἐν ταῖς ἐμβάσιν; καί μοι δοκεῖ
κατὰ σχολὴν παρὰ τἀνδρὸς ἐξελθεῖν μόνη. 48
ΓΥ. Β. καὶ πάνυ ταλαιπώρως ἔγωγ', ὦ φιλτάτη, 54
ἐκδρᾶσα παρέδυν. ὁ γὰρ ἀνὴρ τὴν νύχθ' ὅλην 55
ἔβηττε, τριχίδων ἑσπέρας ἐμπλήμενος. 56
ΓΥ. Α. τὴν τοῦ καπήλου δ' οὐχ ὁρᾷς Γευσιστράτην, 49
ἔχουσαν ἐν τῇ δεξιᾷ τὴν λαμπάδα; 50

ADNOTATIO CRITICA.

v. 42 παριοῦσαν nescio quis primorum editorum. — v. 45 nescio, an cum scholio ad Acharn. v. 960 scribendum sit ἡμῖν (pro ἡμῶν). Idem censet, de qua re Rudolphus Prinz amicus me certiorem fecit, Naberus. — v. 48 fortasse μόλις scribendum est pro μόνη, nullae enim adesse videntur in scena pedissequae vel ancillae contionantium mulierum, ut etiam reliquae mulieres „solae“ veniant. — vv. 54—56 post v. 48 transposuit Meinekius.

SCRIPTURAE DISCREPANTIA.

ΑΒΝ αὐτοῦ λαβών *Γ* ‖ v. 41 *ΠΡΑ.*] omm. *RΒΓ* γυνη est in *Α* | Κλειναρέτην] κλειμαρέτην *Β* ‖ v. 42 παριοῦσαν] παροῦσαν *RΑΒΓΝ* | τήνδε] τῆνδε *RΓ* | Φιλαινέτην] ex φιλαινεκάτην corr. *R*² ‖ v. 43 *ΚΟΡ.*] — *R* πρα ξ *ΑΝ* | κατώμοσεν] κατώμοσε *Α* | totus versus 43 omissus est in *ΒΓ* ‖ v. 44 ὑστάτην] corr. ex ὕστατην in *R* | ἥκουσαν] ἤκουσαν *R* | οἴνου] ὤνου *Β* | χόας] χοᾶς *R* χοὰς *ΑΒΝ* χοάς *Γ* ‖ v. 45 κἀρεβίνθων] κ' ἀρεβίνθων *R* κἀρεβίνθου *ΒΓ* ‖ v. 46 *ΓΥ. Α.*] — *Α* omm. *RΒΓΝ* | Σμικυθίωνος] ras. corr. ex σιμικυθίωνος *R* σμικυρίωνος est in *Β* | δ'] omm. *ΑΒΓΝ* | οὐχ] οὐχ' *RΑΓ* | ὁρᾷς] ὁρᾶς *ΑΓ* | Μελιστίχην] μελιστιάχην *Γ* μὲ λιστίχην *Ν* ‖ v. 47 ταῖς ἐμβάσιν] ταῖς ἐμβάσι *Α* τοῖς ἐμβάσι *Γ* ταῖς ἐμβᾶσιν *Ν* ‖ vv. 48—56 in codicibus ordo is est, quem numeri supra in margine appicti indicant. ‖ v. 48 κατὰ σχολὴν] κατασχολὴν *RΓΝ* | παρὰ τἀνδρὸς] παρά τ' ἀνδρὸς *RΓ* παρὰ τ' ἀνδρὸς *Ν* ‖ v. 54 *ΓΥ. Β.*] — *RΑ* γυνὴ *Ν* omm. *ΒΓ* | ταλαιπώρως ἔγωγ'] ταλαιπώρως γ' *ΑΓ* ταλαιπωρῶ ἔγωγ' *Ν* ‖ v. 55 ἐκδρᾶσα] ἐκδράσαι *Α* ἐκδρᾶσαι *Γ* (ἐκδρασα *R*) | παρέδυν] corr. ex παρέδην *Ν* ‖ v. 56 ἑσπέρας] corr. ex ἐσπέρας *R* | ἐμπλήμενος] ἐμπεπλησμένος *ΑΓ* ἐμπλησμένος *ΒΝ* ‖ v. 49 *ΓΥ. Α.*] — *R* γυνὴ *Ν* omm. *ΑΒΓ* | οὐχ] οὐχ' *RΑΓ* | ὁρᾷς] ὁρᾶς *ΑΝ* ὁρας *Γ* ‖ v. 50 τῇ δεξιᾷ] τῆ δεξιᾶ *ΑΒΓΝ*

ΠΡΑ. καὶ τὴν Φιλοδωρήτου τε καὶ Χαιρητάδου
ὁρῶ προσιούσας χἀτέρας πολλὰς πάνυ
γυναῖκας, ὅ τι πέρ ἐστ' ὄφελος ἐν τῇ πόλει.
κάθησθε τοίνυν, ὡς ἂν ἀνέρωμαι τάδε
ὑμᾶς, ἐπειδὴ συλλελεγμένας ὁρῶ,
ὅσα Σκίροις ἔδοξεν εἰ δεδράκατε.
ΓΥ. Α. ἔγωγε. πρῶτον μέν γ' ἔχω τὰς μασχάλας
λόχμης δασυτέρας, καθάπερ ἦν ξυγκείμενον·
ἔπειθ' ὁπόθ' ἀνὴρ εἰς ἀγορὰν οἴχοιτό μου,
ἀλειψαμένη τὸ σῶμ' ὅλον δι' ἡμέρας
ἐχραινόμην ἑστῶσα πρὸς τὸν ἥλιον.
ΓΥ. Β. κἄγωγε· τὸ ξυρὸν δέ γ' ἐκ τῆς οἰκίας
ἔρριψα πρῶτον, ἵνα δασυνθείην ὅλη
καὶ μηδὲν εἴην ἔτι γυναικὶ προσφερής.
ΠΡΑ. ἔχετε δὲ τοὺς πώγωνας, οὓς εἴρητ' ἔχειν
πάσαισιν ἡμῖν, ὁπότε συλλεγοίμεθα;

ADNOTATIO CRITICA.

v. 57 ἂν ἀνέρωμαι Dawesius. — v. 62 ὁπόθ' ἀνὴρ Dawesius. — μοι pro μου scripserim. — v. 64 ἐχραινόμην Bergkius.

SCRIPTURAE DISCREPANTIA.

v. 51 *ΠΡΑ.*] — *R* omm. *ΑΒΓΝ* | Φιλοδωρήτου] φιλοδωρίτου *RΓΝ* | τε] τὲ *RΒΓ* | Χαιρητάδου] χωρητάδου *Β* χαρητάδου *Ν* ‖ v. 52 versui praefixum est $\overset{ξ}{\text{πρα}}$ in *Ν* | χἀτέρας] χ' ἀτέρας *ΑΓΝ* χἀτέρας *Β* ‖ v. 53 ὅ τι πέρ ἐστ'] ὅτι περ ἔστ' *ΑΒΓ* | τῇ] τῆ *ΑΒΓΝ* ‖ v. 57 versui praefixum est $\overset{ξ}{\text{πρα}}$ *Ν* — *RΑ* | τοίνυν] τόνυν *R* | ἂν ἀνέρωμαι] ἀνείρωμαι *RΝ* ἂν εἴρωμαι *ΑΒΓ* ‖ v. 60 *ΓΥ. Α.*] — *R* γυνὴ *Ν* omm. *ΑΒΓ* | μέν γ'] μὲν γ' *Ν* ‖ v. 61 λόχμης] corr. ex λόγχμης *R*[2] (etiam in lemmate scholii in *R* λόχμης corr. ex λόγχμης) inter ό et χ spatium unius litterae relictum in *Α* λέχους corr. ex λόχους *Β* λόγχης est in *Γ* λόγμης *Ν* | ξυγκείμενον] ξυγκείμενοι *Α* ‖ v. 62 ὁπόθ'] ὁπότ' *ΑΒΓΝ* | ἀνὴρ] ἀνὴρ *RΑΒΓΝ* ‖ v. 63 δι' ἡμέρας] διημέρας *R* ‖ v. 64 ἐχραινόμην] ἐχλιαινόμην *RΑΒΓΝ* ‖ v. 65 *ΓΥ. Β.*] — *R* $\overset{τερ}{ε}$ γυνὴ *Ν* omm. *ΑΒΓ* | τὸ ξυρὸν] τὸν ξυρὸν *Ν* | δέ γ'] δὲ γ' *Α* | ἔρριψα πρῶτον ἵνα δα huic versui continuantur in *Γ* ‖ v. 66 ἔρριψα] ἔριψα *Ν* | δασυνθείην] δασηνθείην *Ν* ‖ v. 67 μηδὲν] μὴδὲν *R* | προσφερής] corr. ex προσφερῆς *R* | συνθείην ὅλη huic versui adiecta sunt, ut 66—68 duos versus efficiant *Γ* ‖ v. 68 *ΠΡΑ.*] omm. *RΑΒΓ* | δὲ] δὴ *R* ‖ v. 69 πάσαισιν] πάσαισι *Γ* | ἡμῖν] ὑμῖν *RΝ* | ὁπότε] ὁπποτε *Β* ὁππότε *Γ*

ΓΥ. Α. νὴ τὴν Ἑκάτην, καλόν γ᾽ ἔγωγε τουτονί.
ΓΥ. Β. κἄγωγ᾽ Ἐπικράτους οὐκ ὀλίγῳ καλλίονα.
ΠΡΑ. ὑμεῖς δὲ τί φατέ; *ΓΥ. Α.* φασί· κατανεύουσι γοῦν.
ΠΡΑ. καὶ μὴν τά γ᾽ ἄλλ᾽ ὑμῖν ὁρῶ πεπραγμένα.
Λακωνικὰς γὰρ ἔχετε καὶ βακτηρίας
καὶ θαἰμάτια τἀνδρεῖα, καθάπερ εἴπομεν.
ΓΥ. Α. ἔγωγέ τοι τὸ σκύταλον ἐξηνεγκάμην
τὸ τοῦ Λαμίου τουτὶ καθεύδοντος λάθρᾳ.
ΓΥ. Β. τοῦτ᾽ ἔστ᾽ ἐκείνων τῶν σκυτάλων ὧν πέρδεται;
ΠΡΑ. νὴ τὸν Δία τὸν σωτῆρ᾽ ἐπιτήδειός γ᾽ ἂν ἦν
τὴν τοῦ Πανόπτου διφθέραν ἐνημμένος
εἴπερ τις ἄλλος βουκολεῖν τὴν Δημιώ.

ADNOTATIO CRITICA.

v. 78 *ἐκείνων* Suidas. — v. 81 *τὴν Δημιώ* (vocab. compos. ex *δῆμος* et *Ἰώ* vocc.) e coniectura scripsi.

SCRIPTURAE DISCREPANTIA.

v. 70 *ΓΥ. Α.*] — *R A* *γυνὴ* *N* omm. *B Γ* | *Ἑκάτην*] *ἑκάτην* *R* | *καλόν γ᾽ ἔγωγε*] *καλὸν γ᾽ ἔγωγε* *R* *καλὸν ἔγωγε* *A Γ N* *ἔγωγε καλὸν* *B* | *τουτονί*] corr. ex *τουτονὶ* *R* | *κἄγωγ᾽ ἐπὶ κράτους·* verba huic versui adiecta sunt in *Γ* ‖ v. 71 *ΓΥ. Β.*] — *R* ε^τερ *γυνὴ* *N* omm. *A B Γ* | *κἄγωγ᾽*] *κἀγώγ᾽* *B* | *Ἐπικράτους*] *ἐπὶ κράτους* *Γ N* | *οὐκ*] *οὐκ᾽* *R* | *ὀλίγῳ*] *ὀλίγω* *A B Γ N* | *οὐκ ὀλίγω καλλίονα*: verba insequenti versui adiecta sunt in *Γ* ‖ v. 72 *ΠΡΑ.*] — *R* omm. *A B Γ* | *ΓΥ. Α.*] *γυνὴ* *N* omm. *R A B Γ* | *φασί·*] *φασὶ·* errore omissum supra versum inseruit *R* | *κατανεύουσι*] *κατανεῦσι* *R* *κατανεύσαιτε* *B* *κατανεῦσαι* *Γ* | *γοῦν*] *γ᾽ οὖν* *R* *γὰρ* *A B Γ* ‖ v. 73 *ΠΡΑ.*] — *R* omm. *A Γ N* | *τά γ᾽ ἄλλ᾽*] *τἄλλα γ᾽* *A* *τὰ γ᾽ ἄλλ᾽* *B N* ‖ v. 75 *θαἰμάτια*] *θαιμάτια* *R N* *θοιμάτια* *A* *θ᾽ οἰμάτια* *B* *θ᾽ αἱμάτια* *Γ* | *τἀνδρεῖα*] om. *R* in margine adscr. R^2 | *εἴπομεν*] *εἴπαμεν* *R* *εἴπωμεν* *Γ N* ‖ v. 76 *ΓΥ. Α.*] — *R A* *γυνὴ* *N* omm. *B Γ* | *ἔγωγέ τοι*] *ἔγωγε τοι* *R* ‖ v. 77 *τουτὶ*] *τουτί* *A B Γ* | *λάθρᾳ*] *λάθρα* *A Γ N* ‖ v. 78 *ΓΥ. Β.*] — *R* πρα^ξ *N* omm. *A B Γ* | *ἐκείνων*] *εκεῖνο* *R* *ἐκεῖνο* *A B Γ N* ‖ v. 79 *ΠΡΑ.*] — *R* omm. *A B Γ N* | *σωτῆρ᾽*] *σωτῆρα* *A Γ N* | *ἐπιτήδειός γ᾽*] *ἐπιτήδειος γ᾽* *R A B N* ‖ v. 80 *Πανόπτου*] *πανέπτου* corr. ex *πανόπτου* (sic) *A* *πανόπου* est in *N* ‖ v. 81 *εἴπερ τις*] *εἴπέρ τις* *R A B Γ N* | *ἄλλος*] omm. *A B Γ* | *τὴν Δημιώ*] *τὸν δημήμιον* *R* *τὸν δήμιον* *A Γ N* *ἐθέλει τὸν δήμιον* *B*

ΓΥ. Β. ταυτί γέ τοι νὴ τὸν Δί' ἐφερόμην, ἵνα 88
πληρουμένης ξαίνοιμι τῆς ἐκκλησίας. 89
ΠΡΑ. πληρουμένης, τάλαινα; ΓΥ. Β. νὴ τὴν Ἄρτεμιν, 90
ἔγωγε. τί γὰρ ἂν χεῖρον ἀκροῴμην ἅμα 91
ξαίνουσα; γυμνὰ δ' ἐστί μοι τὰ παιδία. 92
ΠΡΑ. ἰδού γέ σε ξαίνουσαν, ἣν τοῦ σώματος 93
οὐδὲν παραφῆναι τοῖς καθημένοις ἔδει. 94
ἀλλ' ἄγεθ' ὅπως καὶ τἀπὶ τούτοις δράσομεν, 82
ἕως ἔτ' ἐστὶ τἄστρα κατὰ τὸν οὐρανόν· 83
ἡκκλησία δ', εἰς ἣν παρεσκευάσμεθα 84
ἡμεῖς βαδίζειν, ἐξ ἕω γενήσεται. 85
οὐκοῦν καλά γ' ἂν πάθοιμεν, εἰ πλήρης τύχοι 95
ὁ δῆμος ὤν, κἄπειθ' ὑπερβαίνουσά τις 96
ἀναβαλλομένη δείξειε τὸν Φορμίσιον. 97

ADNOTATIO CRITICA.

ante v. 88 versum excidisse intellexit Meinekius, quo Praxagora ex muliere altera sciscitata esset, quo consilio lanam attulisset. Lacunam indicat etiam *ταυτί* vocabulum, vere enim Elmsleius coniecit nunc in v. 88 scribendum esse: *ἔγωγέ τοι* pro *ταυτί γέ τοι*. — v. 91 *ἅμα* Dobraeus. — v. 82 *ἀλλ' ἄγεθ'* Dindorfius. — vv. 82—85 post v. 94 transposuit Anzius. — v. 83 *τἄστρα* Cobetus.

SCRIPTURAE DISCREPANTIA.

vv. 82—100 in codicibus ordo is est, quem numeri supra in margine appicti indicant. ‖ v. 88 *ΓΥ. Β.*] om. *R ἄλλη* adscr. R^2 *ἄλλη* est in *N* omm. *ΑΒΓ* | *ταυτί*] *ταυτὶ ΒΝ* | *τὸν Δί'*] *τὸν δία Γ* ‖ v. 89 *ξαίνοιμι*] corr. ex *ξαίνοι R* ‖ v. 90 *ΠΡΑ.*] — *RA* omm. *ΒΓ* | *ΓΥ. Β.*] : *R γυνὴ Ν* omm. *ΑΒΓ* ‖ v. 91 *ἀκροῴμην*] *ἀκροώμην RΓΝ ἀκουοίμην Β* | *ἅμα*] *ἄρα RΑΒΓΝ* ‖ v. 92 *γυμνὰ*] *γυμὰ Α* | *δ' ἐστί*] *δ' ἔστι ΑΓ* | *μοι*] *μου ΑΒΓΝ* ‖ v. 93 *ΠΡΑ.*] — *RA* omm. *ΒΓ* | *ἰδού γέ σε*] *ἰδού γε σε R ἰδοὺ γέ σε ΑΒΓ ἰδοὺ γε σε Ν* | *ἣν*] *ἦν R ἢν Ν* ‖ v. 94 *παραφῆναι*] *παραφανῆναι Γ* ‖ v. 82 versui praefixit *γυνή* R^2 *γυνή* est etiam in *N* | *ἀλλ' ἄγεθ'*] *γεθ'* (omissis *ἀλλ' ἅ* in lacuna) *R λέγεθ' ΑΓΝ λέγοιθ' Β* | *τἀπὶ*] *τὰ 'πὶ Γ* ‖ v. 83 *ἐστὶ τἄστρα*] *ἐστὶν ἄστρα RΑΒΓ ἔστιν ἄστρα Ν* | *οὐρανόν*] corr. ex *οὐρανὸν R* ‖ v. 84 *ἡκκλησία*] *ἡ 'κκλησία RΑΝ ἐκκλησία Β ἤκκλησία Γ* ‖ v. 85 omissus est in *ΒΓ* | *ἐξ ἕω*] *ἐξέω R* ‖ v. 95 versui praefixum erat —, sed deletum a prima manu in *R* | *οὐκοῦν*] *οὐκ' οὖν R οὐκ ἂν ΑΒ οὐκ ἀν Γ* | *καλά γ'*] *καλὰ γ' ΑΒ καλὰ γ'* corr. ex *κὰλα γ' Ν* | *πλήρης*] *πλ* (quae erant post *πλ* litterae ras. deletae sunt) *Γ* ‖ v. 96 *ὤν*] *ὧν R* | *κἄπειθ'*] *κ' ἄπειθ' R* | *τις*] *τε Ν* ‖ v. 97 *δείξειε*] *δείξειεν R* | *τὸν Φορμίσιον*] *τὴν φυρμίσιον ΑΓΒ* (in ras. est *η* in *τὴν*, et

ΓΥ. Α. νὴ τὸν Δί', ὥστε δεῖ σε καταλαβεῖν ἕδρας
ὑπὸ τῷ λίθῳ τῶν πρυτάνεων καταντικρύ.
ΠΡΑ. ἣν δ' ἐγκαθεζώμεσθα πρότεραι, λήσομεν
ξυστειλάμεναι θαἰμάτια· τὸν πώγωνά τε
ὅταν καθῶμεν, ὃν περιδησόμεσθ' ἐκεῖ,
τίς οὐκ ἂν ἡμᾶς ἄνδρας ἡγήσαιθ' ὁρῶν;
ΓΥ. Α. Ἀγύρριος γοῦν τὸν Προνόμου πώγων' ἔχων
λέληθε· καίτοι πρότερον ἦν χοὖτος γυνή·
νυνὶ δ', ὁρᾷς, πράττει τὰ μέγιστ' ἐν τῇ πόλει.
ΠΡΑ. τούτου γέ τοι νὴ τὴν ἐπιοῦσαν ἡμέραν
τόλμημα τολμῶμεν τοσοῦτον εἵνεκα,
ἥν πως παραλαβεῖν τῆς πόλεως τὰ πράγματα

ADNOTATIO CRITICA.

vv. 86—87 post v. 97 transposui. — v. 98 ἐγκαθεζώμεσθα Dindorfius. — v. 103 pro οὗτος scripsi χοὖτος. — v. 105 nescio, an pro νὴ τὴν ἐπιοῦσαν ἡμέραν scribendum sit: νὴ τὴν ἐπιοῦσαν νῦν Ἕω. — v. 106 εἵνεκα scripsi (pro οὕνεκα codicum) Wecklinium secutus.

SCRIPTURAE DISCREPANTIA.

ϱ, quod omissum erat, supra versum adscriptum et prius ί in ras. in φορμίσιον B) ‖ v. 86 ΓΥ. Α.] — RA πρα N omm. BΓ | ἕδρας] ἕδρας Γ ‖ v. 87 τῷ λίθῳ] τῶ λίθω ABΓN | τῶν πρυτάνεων] τῶ πρυτάνεω B τῷ πρυτάνεω Γ τῶν πρατάνεων N | καταντικρύ] κατ' ἀντικρύ corr. ex κατ' ἀντικρὺ R κατ' ἀντικρύ est in AΓ κατ' ἀντικῶ N ‖ v. 98 ΠΡΑ.] omm. RABΓN | ἣν] ἢν R | ἐγκαθεζώμεσθα] ἐγκαθιζώμεσθα RAN αὖ καθεζώμεσθα B ἐκαθεζόμεθα Γ | πρότεραι] πότερα Γ | πρότεραι λήσομεν in ras. scr. R^2, scriptum erat, ut videtur: τὸν πώγωνα τε R ‖ v. 99 om. R, in margine adscr. R^2 | ξυστειλάμεναι] συστειλάμεναί B συστειλάμεναι Γ | θαἰμάτια] θαιμάτια R^2N θοιμάτια A θοἱμάτια B θ' αἱμάτια Γ | πώγωνά τε] πώγωνα τε R^2 πώγωνὰ τε A ‖ v. 100 ὅταν] ὅτ' ἂν RΓN | περιδησόμεσθ'] περ δησόμεσθ' N ‖ v. 101 οὐκ] οὐκ' R δ' οὐκ B | ἡγήσαιθ'] ἡγήσεθ' RN ‖ v. 102 ΓΥ. Α.] — RA omm. BΓN | Ἀγύρριος] ἀργύριος B ἀγύρριός Γ | γοῦν] γ' οὖν RΓN | Προνόμου] πρὸ νόμου N | πώγων'] corr. ex πῶγων' in ras. est apostrophus R ‖ v. 103 λέληθε] λέληθεν N | πρότερον καίτοι transpos. BΓ | ἦν] ἣν R ἠν Γ | χοὖτος] οὗτος RABΓN ‖ v. 104 δ', ὁρᾷς] δ' ὁρᾶς R δ' ὁρᾶς ABΓ δορᾶς N | τὰ] om. N | τῇ] τῆ ABΓN ‖ v. 105 ΠΡΑ.] — R omm. ABΓN | τὴν] corr. ex τῆν R ‖ v. 106 εἵνεκα] οὕνεκα RABΓN ‖ v. 107 ἥν] ἦν R

δυνώμεθ', ὥστ' ἀγαθόν τι πρᾶξαι τὴν πόλιν·
νῦν μὲν γὰρ οὔτε θέομεν οὔτ' ἐλαύνομεν.
ΓΥ. Α. καὶ πῶς γυναικῶν θηλύφρων ξυνουσία
δημηγορήσει; *ΠΡΑ.* πολὺ μὲν οὖν ἄριστά που.
λέγουσι γὰρ καὶ τῶν νεανίσκων ὅσοι
πλεῖστα σποδοῦνται, δεινοτάτους εἶναι λέγειν·
ἡμῖν δ' ὑπάρχει τοῦτο κατὰ τύχην τινά.
ΓΥ. Α. οὐκ οἶδα· δεινόν ἐστιν ἡ μὴ 'μπειρία.
ΠΡΑ. οὐκοῦν ἐπίτηδες ξυνελέγημεν ἐνθάδε,
ὅπως προμελετήσαιμεν ἀκεῖ δεῖ λέγειν.
οὐκ ἂν φθάνοις τὸ γένειον ἂν περιδουμένη,
ἄλλαι θ' ὅσαι λαλεῖν μεμελετήκασί που;
ΓΥ. Α. τίς δ', ὦ μέλ', ἡμῶν οὐ λαλεῖν ἐπίσταται;
ΠΡΑ. ἴθι δὴ σὺ περιδοῦ καὶ ταχέως ἀνὴρ γενοῦ·
ἐγὼ δὲ θεῖσα τὸν στέφανον περιδήσομαι

ADNOTATIO CRITICA.

v. 117 *προμελετήσαιμεν* Kiddius. — v. 119 *ἄλλαι* Meinekius. — v. 122 *τὸν στέφανον* Cobetus.

SCRIPTURAE DISCREPANTIA.

v. 108 *δυνώμεθ*] *δηνώμεθ'* (sed etiam *δυνώμεθ'* legi posse videtur) *N* | *ἀγαθόν τι*] *ἀγαθὸν τι ΓN* | *πρᾶξαι*] *πράξαι RN* ‖ v. 109 *θέομεν*] corr. ex *θεόμεν R* ‖ v. 110 *ΓΥ. Α.*] — *R γυνὴ N* omm. *ΑΒΓ* | *ξυνουσία*] *ἐξουσία N* ‖ v. 111 *ΠΡΑ.*] : *R* omm. *ΑΒΓ* | *οὖν*] *οὐν Γ* om. *Α* | *ἄριστά που*] *ἄριστα που Γ* ‖ v. 112 *ὅσοι*] *ἄπο ΒΓ ὅσα N* ‖ v. 113 *πλεῖστα*] *πλεῖσται Γ* ‖ v. 114 *τινά*] corr. ex *τινὰ R* ‖ vv. 114 et 115 unum versum efficiunt in *Γ* ‖ v. 115 *ΓΥ. Α.*] — *R γυνὴ N* omm. *ΑΒΓ* | *οὐκ*] corr. ex *οὐκ' R* | *δεινόν ἐστιν*] *δεινόν* (sic) *δ' εστιν R δεινὸν δ' ἐστὶν N* (*δεινόν ἐστιν Α δεινὸν ἐστὶν ΒΓ*) | *ἡ μὴ 'μπειρία*] *ἡ 'μη 'μπειρία RN ἡ μημ 'πειρία Γ* ‖ v. 116 *ΠΡΑ.*] — *RΑ* omm. *ΒΓ* | *οὐκοῦν*] *οὔκουν* (supra o alterum spir. eras.) *R οὔκουν* est etiam in *ΑΓ* | *ξυνελέγημεν*] corr. ex *ξυνελεγημεν* R^2 ‖ vv. 116 et 117 unum versum efficiunt in *Γ* ‖ v. 117 *προμελετήσαιμεν*] *προμελετήσωμεν RΑΓN προμελετήσωμέν που Β* | *ἀκεῖ*] *ἁ 'κεῖ R ἃ 'κεῖ ΑN ἃ ΒΓ* ‖ v. 118 versui praefixum est — *RΑ* | *οὐκ*] *οὐκ' R* | *ἂν*] om. *Β* | in *γένειον*] prius *ν* in ras. est, sed a prima manu *Β* | *περιδουμένη*] *περιδομένη R περιδυμένη Β* ‖ v. 119 *ἄλλαι*] *ἅλλαι RΑΒΓN* | *μεμελετήκασί*] corr. ex *μεμετήκασί* R^2 | *που*] *γέ που Β* ‖ v. 120 *ΓΥ. Α.*] — *RΑ γυνὴ N* omm. *ΒΓ* | *ὦ*] *ὧ Γ* ‖ v. 121 *ΠΡΑ.*] — *RΑ* omm. *ΒΓ* | *περιδοῦ*] *περίδου RΑΓN* ‖ v. 122 *τὸν στέφανον*] *τοὺς στεφάνους RΑΓN τοὶς στεφάνοις Β*

καὐτὴ μεθ' ὑμῶν, ἥν τί μοι δόξῃ λέγειν.
ΓΥ. Α. *δεῦρ', ὦ γλυκυτάτη Πραξαγόρα, σκέψαι, τάλαν,*
οὐ καταγέλαστόν σοι τὸ πρᾶγμα φαίνεται;
ΠΡΑ. *πῶς καταγέλαστον;* ΓΥ. Α. *ὥσπερ εἴ τις σηπίαις*
πώγωνα περιδήσειεν ἐσταθευμέναις.
ΠΡΑ. *ὁ περιστίαρχος, περιφέρειν χρὴ τὴν γαλῆν.*
πάριτ' ἐς τὸ πρόσθεν. Ἀρίφραδες, παῦσαι λαλῶν,
κάθιζε. πάριτε. τίς ἀγορεύειν βούλεται;
ΓΥ. Α. *ἐγώ.* ΠΡΑ. *περίθου δὴ τὸν στέφανον τύχἀγαθῇ.*
ΓΥ. Α. *ἰδού.* ΠΡΑ. *λέγοις ἄν.* ΓΥ. Α. *εἶτα πρὶν πιεῖν λέγω;*
ΠΡΑ. *ἰδοὺ πιεῖν.* ΓΥ. Α. *τί γάρ, ὦ μέλ', ἐστεφανωσάμην;*
ΠΡΑ. *ἄπιθ' ἐκποδών· τοιαῦτ' ἂν ἡμᾶς εἰργάσω*
κἀκεῖ. ΓΥ. Α. *τί δ'; οὐ πίνουσι κἀν τἠκκλησίᾳ;*

ADNOTATIO CRITICA.

v. 125 *οὐ καταγέλαστόν σοι* Cobetus. — v. 128 *τὴν γαλῆν*: voc. mihi dubitationem movet, coniecerim Aristophanem scripsisse: *'ς τοὔμπαλιν*. — v. 130 *κάθιζε. πάριτε.* Blaydesius.

SCRIPTURAE DISCREPANTIA.

v. 123 *καὐτὴ*] *κ' αὐτὴ* A | *ὑμῶν*] *ἡμῶν* (potest esse etiam *ὑμῶν*, sed illud verisimilius cfr. ad v. 108) N (*υμῶν* R) | *τί μοι*] *τι μὴ* ΒΓ | *δόξῃ*] *δόξει* R *δόξη* ΑΒΓΝ | *λέγειν*] in ras. corr. in *λέξειν* R² ‖ v. 124 ΓΥ. Α.] — Α *γυνὴ* N omm. RΒΓ | ante *σκέψαι*] spatium relictum in A | *τάλαν*] corr. prima manus ex *λάλαν* N ‖ v. 125 *οὐ καταγέλαστόν σοι*] *ὡς καὶ καταγέλαστον* RΑΒΓΝ ‖ v. 126 ΠΡΑ.] — RA omm. ΒΓ | ΓΥ. Α.] *γυνὴ* N omm. RΑΒΓ | *ὥσπερ εἴ τις*] *ὥσπερεί τις* R *ὡσπερεί τις* N ‖ v. 127 *ἐσταθευμέναις*] *ἑσταθευμέναις* Γ ‖ v. 128 ΠΡΑ.] — Α omm. RΒΓ | *περιφέρειν*] *περὶ φέρειν* R *φέρειν* ΑΒΓ | *γαλῆν*] *γαλὴν* RA *γαλήν* Γ ‖ v. 129 *πάριτ'*] ras. corr. ex *πάριιτ'* R ‖ v. 130 *πάριτε*] *παριών* RΓ *παριὼν* ΑΒΝ ‖ v. 131 ΓΥ. Α.] — RA *γυνὴ* N omm. ΒΓ | ΠΡΑ.] : R omm. ΑΒΓ | *περίθου*] *παράθου* ΒΓ *περάθου* N | *τύχἀγαθῇ*] *τύχ' ἀγαθῇ* ΑΝ *τύχῃγαθῇ* B *τύχ' ἀγαθῆ* Γ ‖ v. 132 ΓΥ. Α.] — Α *γυνὴ* N omm. RΒΓ | ΠΡΑ.] : R omm. ΑΒΓ | ΓΥ. Α.] : R *γυνὴ* N omm. ΒΓ ÷ (atramento :, minio — pictum) A ‖ v. 133 ΠΡΑ.] — R omm. ΑΒΓ | ΓΥ. Α.] *γυνὴ* N omm. RΑΒΓ | *τί*] *τὶ* B ‖ v. 134 ΠΡΑ.] — RA omm. ΒΓ | *ἄπιθ'*] *ἄπτεθ'* Γ | *ἐκποδών*] *ἐκποδῶν* RΑΓΝ | *τοιαῦτ'*] : *τοιαῦτ'* R | *εἰργάσω*] *ἐργάσω* Γ ‖ v. 135 *κἀκεῖ*] *κακεῖ* RΓ | ΓΥ. Α.] *γυνὴ* N ÷ (: atram. — minio) A omm. RΒΓ | *τί δ'; οὐ*] *τί δ' οὐ* RΑΓΝ *τὶ δ' οὐ* N | *πίνουσι*] *πίνουσιν* ΒΓ | *κἀν*] *κ' ἂν* R *ἐν* B *ἂν* Γ | *τἠκκλησίᾳ*] *τῆι κλησίᾳ* R *τῇ 'κκλησία* ΑΒΓΝ

ΠΡΑ. ἰδού γέ σοι πίνουσι. *ΓΥ. Α.* νὴ τὴν Ἄρτεμιν,
καὶ ταῦτά γ' εὔζωρον. τὰ γοῦν βουλεύματα
αὐτῶν ὅσ' ἂν πράξωσιν ἐνθυμουμένοις
ὥσπερ μεθυόντων ἐστὶ παραπεπληγμένα.
καὶ νὴ Δία σπένδουσί γ'· ἢ τίνος χάριν
τοσαῦτ' ἂν ηὔχοντ', εἴπερ οἶνος μὴ παρῆν;
καὶ λοιδοροῦνταί γ' ὥσπερ ἐμπεπωκότες,
καὶ τὸν παροινοῦντ' ἐκφέρουσ' οἱ τοξόται.
ΠΡΑ. σὺ μὲν βάδιζε καὶ κάθησ'· οὐδὲν γὰρ εἶ.
ΓΥ. Α. νὴ τὸν Δί', ἦ μοι μὴ γενειᾶν κρεῖττον ἦν·
δίψῃ γάρ, ὡς ἔοικ', ἀφαυανθήσομαι.
ΠΡΑ. ἔσθ' ἥτις ἑτέρα βούλεται λέγειν; *ΓΥ. Β.* ἐγώ.
ΠΡΑ. ἴθι δὴ στεφανοῦ· καὶ γὰρ τὸ χρῆμ' ἐργάζεται.
ἄγε νυν ὅπως ἀνδριστὶ καὶ καλῶς ἐρεῖς,

ADNOTATIO CRITICA.

v. 141 *τοσαῦτ' ἂν* Dindorfius. — v. 142 *ἐμπεπωκότες* Scaliger.

SCRIPTURAE DISCREPANTIA.

v. 136 *ΠΡΑ.*] — *R* omm. *ΑΒΓ* | *ἰδού γε*] *ἰδοὺ γε RABN* | *πίνουσι*] *πίνουσιν RN* (*πίνουσι*; *A*) | *ΓΥ. Α.*] : *R γυνὴ N* omm. *ΑΒΓ* ‖ v. 137 *ταῦτά γ'*] *ταῦτα γ' ΑΓΝ* | *γοῦν*] *γ' οὖν R* ‖ v. 138 *ὅσ'*] *ὅσοι N* | *ἐνθυμουμένοις*] *εὐθυμουμένοις A* ‖ v. 139 *ἐστὶ*] *ἐστὶν Γ* (*ἐστὶ, N*) ‖ v. 140 *σπένδουσί*] *σπεύδουσί AB* | *γ'*] *γε ΑΓ* | *τίνος*] ras. corr. ex *τίνας R τινὸς* est in *N* ‖ v. 141 *τοσαῦτ' ἂν ηὔχοντ'*] *τοσαῦτά γ' εὔχοντο R τοσαῦτα γ' εὔχονται A τοσαῦτα γ' εὔχοντ' B τοσαῦτ' εὔχονται Γ τοσαῦτ' ἔχοντ' N* | omissa sunt in vv. 141 et 142 verba ab *οἶνος* incl. usque ad *ὥσπερ* incl., reliqua unum versum efficiunt *ΑΒΓ* ‖ v. 142 *λοιδοροῦνταί γ'*] *λοιδοροῦνται γ' N* | *ἐμπεπωκότες*] *ἐκπεπωκότες R ἐμπεπτωκότες AN ἐκπεπτωκότες ΒΓ* ‖ v. 143 *παροινοῦντ'*] *παρ' οἰνοῦντ' R* | *ἐκφέρουσ'*] *ἐκφέρουσιν ΑΓ* ‖ v. 144 *ΠΡΑ.*] — *RA* omm. *ΒΓ* | *κάθησ'*] *κάθιζε ΑΓ κάθιζ' BN* ‖ v. 145 *ΓΥ. Α.*] — *RA γυνὴ N* omm. *ΒΓ* | *Δί'*] *δί A* | *ἦ*] *η* in rasura duarum litterarum scr. R^2 ‖ v. 146 *δίψῃ γάρ*] *δίψει γὰρ RAN δίψη γὰρ Γ* | *ἔοικ'*] *ἔοικε ΑΒΓ* | *ἀφαυανθήσομαι*] *αφαυανθήσομαι* ex *αφαυθήσομαι* corr. R^2 *φαυανθήσομαι* est in *ΑΒΓ* ‖ v. 147 *ΠΡΑ.*] — *R* omm. *ΑΒΓ* | *ΓΥ. Β.*] : *R γυνὴ N* omm. *ΑΒΓ* ‖ v. 148 *ΠΡΑ.*] — *R* omm. *ΑΒΓ* ‖ v. 149 versui praefixum est — in *R* | *νυν*] *νῦν RAΓN* | *καὶ*] errore omissum postea inser. *R*

διερεισαμένη τὸ σχῆμα τῇ βακτηρίᾳ.
ΓΥ. Β. ἐβουλόμην μὲν ἂν ἕτερον τῶν ἠθάδων
λέγειν τὰ βέλτισθ', ἵν' ἐκαθήμην ἥσυχος·
νῦν δ' οὐκ ἐάσω κατά γε τὴν ἐμήν τινας
ἐν τοῖς καπηλείοισι λάκκους ἐμποιεῖν
ὕδατος. ἐμοὶ μὲν οὐ δοκεῖ μὰ τὼ θεώ.
ΠΡΑ. μὰ τὼ θεώ; τάλαινα, ποῦ τὸν νοῦν ἔχεις;
ΓΥ. Β. τί δ' ἔστιν; οὐ γὰρ δὴ πιεῖν γ' ᾔτησά σε.
ΠΡΑ. μὰ Δί', ἀλλ' ἀνὴρ ὢν τὼ θεὼ κατώμοσας,
καίτοι τά γ' ἄλλ' εἶπας σὺ δεξιώτατα.
ΓΥ. Β. ὢ νὴ τὸν Ἀπόλλω. ΠΡΑ. παῦε τοίνυν, ὡς ἐγὼ
ἐκκλησιάσουσ' οὐκ ἂν προβαίην τὸν πόδα

ADNOTATIO CRITICA.

v. 150 *διερεισαμένη* Schaeferus. — v. 153 pro *μίαν* codicum scripsi *τινας*, sed fortasse gravior latet corruptela, ut versus scribendus sit: *ἐάσομεν δ' οὐ κατά γε τὴν ἐμήν τινας*, atque *μίαν* ortum est ex eius modi fere interpretamento: *κατὰ τὴν ἐμοῦ μιᾶς γνώμην*. — v. 159 *εἶπας σὺ* Blaydesius. — v. 161 *ἐκκλησιάσουσ'* Kusterus.

SCRIPTURAE DISCREPANTIA.

v. 150 —, quod versui praefixum erat, del. prima manus in *R* | *διερεισαμένη*] *διερεισμένη* corr. ex *διερείσ* (vel *διερεῖσ*) *μὲν ἡ* in *R* *διερεισμένη* est in *ΑΒΓΝ* | *τῇ βακτηρίᾳ*] *τῆς βακτηρίας* *ΑΒΓ* *τῇ βακτηρία* *N* ‖ v. 151 *ΓΥ. Β.*] — *A* *γυνὴ* *N* omm. *RBΓ* | *ἂν ἕτερον*] *ἕτερον ἂν* *R* *ἂν τὸν ἕτερον* *ΑΓ* *ἑτέρων ἂν* *N* ‖ v. 152 *ἵν' ἐκαθήμην*] *ἦν εκαθήμην* *R* ‖ v. 153 *κατά γε*] *κάτα γε* *Γ* | *τινας*] *μίαν* *RΑΒΓΝ* ‖ v. 154 *τοῖς*] *τοῖσι* *RN* ‖ v. 155 *μὰ τὼ*] *μα τῶ* corr. ex *μετα* *R* ‖ v. 156 *ΠΡΑ.*] ∸ *RA* omm. *ΒΓ* | *τάλαινα, ποῦ*] *τάλαιναι : ποῦ* *R* | super *τὸν* scriptum est *ου* in *A* ‖ post v. 156 suo versu est: — *τί γὰρ δὴ π*, quae del. prima manus *R* ‖ v. 157 *ΓΥ. Β.*] — *A* *γυνὴ* *N* omm. *RBΓ* | *ἔστιν*] *εστὶν* *R* *ἐστὶν* *ΑΒΓΝ* | *δὴ*] *δεῖ* *N* | *γ'*] omm. *ΑΒΓΝ* | *ᾔτησά*] *ήτησά* corr. ex *ήτήσα* *R* *ἤτησά* est in *ΑΓΝ* *ἤτησα* *B* ‖ v. 158 *ΠΡΑ.*] — *R* omm. *ΒΓ* | *τὼ*] *τῶ* ras. corr. ex *τῶν* *R* | omissus est v. 158 parte codicis abscissa, item v. 160, v. 162 e. c. in *A* ‖ v. 159 *καίτοι*] *καὶ τοι* *N* | *τά γ'*] *τὰ γ'* *N* | *ἄλλ'*] om. *R* supra versum adscr. *αλλ'* R^2 *ἀλλ'* est in *Γ* *ἄλλα* *N* | *εἶπας σὺ*] *εἰποῦσα* *RΑΒΓΝ* ‖ v. 160 *ΓΥ. Β.*] erat —, sed erasum est *R* *γυνὴ* *N* omm. *ΒΓ* | *ὢ*] *ὦ* *RN*] *Ἀπόλλω*] *ἀπόλλω'* *R* *ἀπόλλωνα* *Γ* | *ΠΡΑ.*] omm. *RBΓ* | versus 160 omissus est in *A* ‖ v. 161 *ἐκκλησιάσουσ'*] *ἐκκλησιάζουσ'* corr. ex *ἐκκλησιάζουμπρο* *R* *ἐκκλησιάζουσ'* *ΑΒΓΝ* | *οὐκ*] *οὐκ'* *R* *οὐ* *B* | *ἂν*] om. *B* | *τὸν πόδα·* suum versum efficit in *R*

τὸν ἕτερον, εἰ μὴ ταῦτ' ἀκριβωθήσεται.
ΓΥ. Β. φέρε τὸν στέφανον· ἐγὼ γὰρ αὖ λέξω πάλιν.
οἶμαι γὰρ ἤδη μεμελετηκέναι καλῶς.
ἐμοὶ γάρ, ὦ γυναῖκες αἱ καθήμεναι,
ΠΡΑ. γυναῖκας, ὦ δύστηνε, τοὺς ἄνδρας λέγεις;
ΓΥ. Β. δι' Ἐπίγονόν γ' ἐκεινονί· βλέψασα γὰρ
ἐκεῖσε πρὸς γυναῖκας ᾠόμην λέγειν.
ΠΡΑ. ἄπερρε καὶ σὺ καὶ κάθησ' ἐντευθενί.
αὐτὴ γὰρ ὑμῶν γ' ἕνεκά μοι λέξειν δοκῶ,
τονδὶ λαβοῦσα· τοῖς θεοῖς μὲν εὔχομαι
τυχεῖν κατορθώσασα τὰ βεβουλευμένα.
ἐμοὶ δ' ἴσον μὲν τῆσδε τῆς χώρας μέτα
ὅσονπερ ὑμῖν· ἄχθομαι δὲ καὶ φέρω
τὰ τῆς πόλεως ἅπαντα βαρέως πράγματα.
ὁρῶ γὰρ αὐτὴν προστάταισι χρωμένην
ἀεὶ πονηροῖς· κἄν τις ἡμέραν μίαν
χρηστὸς γένηται, δέκα πονηρὸς γίγνεται.

ADNOTATIO CRITICA.

v. 167 ἐκεινονί· βλέψασα Elmsleius.

SCRIPTURAE DISCREPANTIA.

v. 162 ἕτερον] corr. ex ἕτερα *R* | ἀκριβωθήσεται] ακριβωθήσαιται corr. ex ακριβωθήσαι R^2 | non legitur versus 162 in *A* ‖ v. 163 ΓΥ. Β.] — *RA* ἡ προ^τερ^ γυνὴ *N* omm. *ΒΓ* ‖ v. 164 μεμελετηκέναι] corr. ex μεμελημελιωκέναι vel μεμελημεμωκέναι *R* | non legitur versus 164 in *A* ‖ v. 165 καθήμεναι] καθημενη *R* ‖ v. 166 ΠΡΑ.] — *R* omm. *ΒΓ* | ὦ] αὖ *RN* | non legitur versus 166 in *A* ‖ v. 167 ΓΥ. Β.] — *RA* γυνὴ *N* omm. *ΒΓ* | δι' Ἐπίγονόν γ' ἐκεινονί] δι' επίγονόν γ' εκεῖνον *R* δι' ἐπίγονόν γ' ἐκεῖνον *AN* διεπίγονόν τ'. ἐκεῖνον *B* διεπίγονόν γ' ἐκεῖνον *Γ* | βλέψασα] ἔπι (corr. ex εἴ τι) βλέψασα *R* ἐπιβλέψασα *ΑΒΓ* εἴ τι βλέψασα *N* ‖ v. 168 ᾠόμην] ᾤόμη *R* ᾠόμην *BN* | non legitur versus 168 in *A* ‖ v. 169 ΠΡΑ.] — *RA* omm. *ΒΓ* | ἄπερρε] ἔπερρε *Γ* | κάθησ'] κάθησθ' *ΑΒΓΝ* | ἐντευθενί] εντευνί *R* corr. in εντευθενί R^2 ‖ v. 170 γ' ἕνεκά] ἕνεκά *R* | non legitur posterior pars versus a γ' ἕνεκά incl. in *A* ‖ v. 171 τονδί] τὸν δὴ *R* τονδὶ *AN* ‖ v. 172 κατορθώσασα] κατορθώσας *ΑΓ* ‖ v. 173 ἴσον] ἶσον *N* | τῆσδε] τῆς δὲ *Γ* | inter χώρας et μέτα lacuna est in *R* ‖ v. 174 ὅσονπερ] ὅσον παρ' *N* ‖ v. 175 βαρέως πράγματα] πράγματα βαρέως *ΑΒΓ* ‖ v. 176 προστάταισι] προσταταῖσι corr. ex προστάταισι *R* ‖ v. 177 κἄν] κ' ἄν *R* ‖ v. 178 πονηρὸς] πόνηρος *N*

ἐπέτρεψας ἑτέρῳ· πλεῖον' ἔτι δράσει κακά.
χαλεπὸν μὲν οὖν ἄνδρας δυσαρέστους νουθετεῖν,
οἳ τοὺς φιλεῖν μὲν βουλομένους δεδοίκατε,
τοὺς δ' οὐκ ἐθέλοντας ἀντιβολεῖθ' ἑκάστοτε..
ἐκκλησίαισιν ἦν ὅτ' οὐκ ἐχρώμεθα
οὐδὲν τὸ παράπαν· ἀλλὰ τόν γ' Ἀγύρριον
πονηρὸν ἡγούμεσθα· νῦν δὲ χρωμένων
ὁ μὲν λαβὼν ἀργύριον ὑπερεπήνεσεν,
ὁ δ' οὐ λαβὼν εἶναι θανάτου φήσ' ἀξίους
τοὺς μισθοφορεῖν ζητοῦντας ἐν τἠκκλησίᾳ.
ΓΥ. Α. νὴ τὴν Ἀφροδίτην, εὖ γε ταυταγὶ λέγεις.
ΠΡΑ. τάλαιν', Ἀφροδίτην ὤμοσας; χαρίεντά γ' ἂν
ἔδρασας, εἰ τοῦτ' εἶπας ἐν τἠκκλησίᾳ.
ΓΥ. Α. ἀλλ' οὐκ ἂν εἶπον. ΠΡΑ. μηδ' ἐθίζου νῦν λέγειν.
τὸ συμμαχικὸν αὖ τοὖθ', ὅτ' ἐσκοπούμεθα,
εἰ μὴ γένοιτ', ἀπολεῖν ἔφασκον τὴν πόλιν·
ὅτε δὴ δ' ἐγένετ', ἤχθοντο, τῶν δὲ ῥητόρων

ADNOTATIO CRITICA.

v. 190 ὤμοσας Dobraeus.

SCRIPTURAE DISCREPANTIA.

v. 179 ἑτέρῳ] ἑτέρω ΑΒΓΝ | πλεῖον'] πλεῖον R ‖ v. 180 οὖν] οὐν Γ | δυσαρέστους] δυσαρέτους Ν | νουθετεῖν] om. R ‖ v. 182 θ in ἀντιβολεῖθ'] in ras. est, sed a prima manu B | ἀντιβολεῖθ' ἑκάστοτε] ἀντιβολεῖτ' ἑκάστοτε Ν ‖ v. 183 ἦν] ἣν RΓ ἢν ΑΝ ‖ v. 185 ἡγούμεσθα] ἡγούμεθα ΑΓ | χρωμένων] χρώμεθα Β ‖ v. 186 ὑπερεπήνεσεν] ὑπερεπήνεσεν ΑΒΝ ‖ v. 187 ὁ δ'] ὅδ' RΑΓ | φήσ'] φὴσ RΝ φήσ Γ | ἀξίους] ἄξιος Α ‖ v. 188 τοὺς μισθοφορεῖν ζητοῦντας] τοὺς μισθοφοροῦντας ΑΒΓ | τἠκκλησίᾳ] τῆκκλησιαι R τῆ ἐκκλησία ΑΓ τῆ 'κκλησία ΒΝ ‖ v. 189 ΓΥ. Α.] — RΑ γυνὴ Ν omm. ΒΓ | ταυταγὶ] ταυτασί Ν ‖ v. 190 ΠΡΑ.] — RΑ omm. ΒΓ | ὤμοσας] ὠνόμασας RΑΝ γ' ὠνόμασας ΒΓ | χαρίεντά γ' ἂν] χαρίεντ' ἄγαν Β χαρίεντα γ' ἂν Ν | χαρίεντά γ' ἂν verba suum versum efficiunt in R ‖ v. 191 τἠκκλησίᾳ] τῆι κκλησίαι R τῆ 'κκλησία ΑΒΓΝ ‖ v. 192 ΓΥ. Α.] — R γυνὴ Ν omm. ΑΒΓ | οὐκ] οὐκ' R | ΠΡΑ.] omm. RΑΒΓ | μηδ'] μὴ δ' RΑΒΓΝ | νῦν] ναῦ Γ ‖ v. 193 versui praefixum est — in RΑ | αὖ τοὖθ'] αὐτοῦ θ' R | ὅτ' ἐσκοπούμεθα] ὅτε σκοπούμεθα Α ‖ v. 195 in textu omissus in margine adscriptus est a prima manu in Γ | δὴ δ'] δή γ' RΝ | ἤχθοντο] ἤσθοντο ΑΒ | τῶν δὲ ῥητόρων] τῶν δερητόρων R καὶ τῶν ῥητόρων Β

ὁ τοῦτ' ἀναπείσας εὐθὺς ἀποδρὰς ᾤχετο.
ναῦς δεῖ καθέλκειν· τῷ πένητι μὲν δοκεῖ,
τοῖς πλουσίοις δὲ καὶ γεωργοῖς οὐ δοκεῖ.
Κορινθίοις ἤχθεσθε, κἀκεῖνοί γέ σοι·
νῦν εἰσὶ χρηστοί, καὶ σὺ νῦν χρηστὸς γενοῦ.
Ἀργεῖος ἀμαθής, ἀλλ' Ἱερώνυμος σοφός·
σωτηρία παρέκυψεν, ἀλλ' ὠράζεται
Θρασύβουλος αὐτὸς οὐχὶ παρακαλούμενος.
ΓΥ. Α. *ὡς ξυνετὸς ἀνήρ.* ΠΡΑ. *νῦν καλῶς ἐπῄνεσας.*
ὑμεῖς γάρ ἐστ', ὦ δῆμε, τούτων αἴτιοι.
τὰ δημόσια γὰρ μισθοφοροῦντες χρήματα
ἰδίᾳ σκοπεῖσθ' ἕκαστος ὅ τι τις κερδανεῖ·
τὸ δὲ κοινὸν ὥσπερ Αἴσιμος κυλίνδεται.
ἢν οὖν ἐμοὶ πίθησθε, σωθήσεσθ' ἔτι.
ταῖς γὰρ γυναιξὶ φημὶ χρῆναι τὴν πόλιν
ἡμᾶς παραδοῦναι. καὶ γὰρ ἐν ταῖς οἰκίαις

ADNOTATIO CRITICA.

v. 199 *ἤχθεσθε* Reiskius. — v. 202 *ὠράζεται* Meinekius, ipse conieceram: *ἐρείδεται*. — v. 204 *ἀνήρ* Dindorfius. — v. 209 *πίθησθε* Cobetus.

SCRIPTURAE DISCREPANTIA.

v. 196 *ᾤχετο*] *ὤχετο* *ABN* | vv. 196 et 197 unum versum efficiunt in *Γ* ‖ v. 197 *ναῦς*] *τὰς ναῦς* *B* | *δεῖ*] *δὲ* *AB* *δὴ* *N* | *καθέλκειν*] *καθέλκει* *N* | *τῷ πένητι*] *τῶ πένητι* *ΑΓΝ* *τοῖς πένησι* *B* | *μὲν*] *μέν σοι* *ΑΓ* ‖ v. 198 *καὶ*] omm. *ΑΒΓ* ‖ v. 199 *ἤχθεσθε*] *ἄχθεσθαι* *R* *ἄχθεσθε* *ΑΒΓ* *ἄχθεσθε* corr. prima manus ex *ἄχθεσθαι* in *N* | *κἀκεῖνοί γέ*] *κακεῖνοι γε* *R* *κἀκεῖνοι γε* *ΑΝ* *κἀκεῖνοι γέ* *B* *κἀκεῖνι γέ* *Γ* | *σοι*] *σοί* corr. ex *σοὶ* *R* *σοὶ* est in *A* | v. 199 in ipso contextu omissus in margine adscriptus est a prima manu in *Γ* ‖ v. 200 *εἰσὶ*] *εἰσι* *A* | *νῦν*] om. *B* | *χρηστὸς γενοῦ*] in ras. scr. *σ γεν* *R*[2] *γενοῦ χρηστὸς* tr. est in *ΑΒΓ* | vv. 200 et 201 unum versum efficiunt in *Γ* ‖ v. 202 *ὠράζεται*] *ορείζεται* *R* *οὐχ' ὀρίζεται* *ΑΓ* *οὐ χρήζετε* *B* *ὀρίζεται* *N* ‖ v. 204 *ΓΥ. Α.*] — *Α γυνὴ* *N* omm. *RΒΓ* | *ἀνήρ*] *ἀνὴρ* *RΑΒΓΝ* | *ΠΡΑ.*] omm. *RΑΒΓ* | *ἐπῄνεσας*] *ἐπήνεσας* *ΑΒΓΝ* ‖ v. 205 versui praefixum est — in *RA* | *γάρ ἐστ'*] *γὰρ ἔστ'* *RΒΓ* *γὰρ ὥστ'* *A* *γ' ἄρ' ἔστ'* *N* ‖ v. 207 *ἰδίᾳ*] *ἰδία* *ΑΒΓΝ* | *σκοπεῖσθ'*] *σκοπεῖς* *ΑΒΓ* | *ὅ τι*] *ὅ, τι* *A* | *τις*] *τίς* *RN* *τί* *ΑΒΓ* | *κερδανεῖ*] *κερδανεῖς* *A* ‖ v. 208 *Αἴσιμος*] ex *ἄσιμος* corr. *R* ‖ v. 209 *ἢν*] *ἣν* *R* | *οὖν*] *οὐν* *Γ* | *πίθησθε*] *πείθησθε* *RΑΓ* *η* in *πείθησθε* in ras. est, sed a prima manu in *B* *πείθεσθε* est in *N* ‖ v. 211 *ἡ* in *ἡμᾶς*] in ras. est, sed a prima manu in *B* | *παραδοῦναι*] *παρὰ δοῦναι* *R*

ταύταις ἐπιτρόποις καὶ ταμίαισι χρώμεθα.
ΓΥ. Α. εὖ γ', εὖ γε νὴ Δί', εὖ γε. ΓΥ. Β. λέγε, λέγ', ὠγαθέ.
ΠΡΑ. ὡς δ' εἰσὶν ἡμῶν τοὺς τρόπους βελτίονες
ἐγὼ διδάξω. πρῶτα μὲν γὰρ τἄρια
βάπτουσι θερμῷ κατὰ τὸν ἀρχαῖον νόμον
ἁπαξάπασαι, κοὐχὶ μεταπειρωμένας
ἴδοις ἂν αὐτάς. ἡ δ' Ἀθηναίων πόλις,
εἰ τοῦτο χρηστῶς εἶχεν, οὐκ ἂν ἐσῴζετο,
εἰ μή τι καινὸν ἄλλο περιειργάζετο;
καθήμεναι φρύγουσιν ὥσπερ καὶ πρὸ τοῦ·
ἐπὶ τῆς κεφαλῆς φέρουσιν ὥσπερ καὶ πρὸ τοῦ·
τὰ Θεσμοφόρι' ἄγουσιν ὥσπερ καὶ πρὸ τοῦ·
πέττουσι τοὺς πλακοῦντας ὥσπερ καὶ πρὸ τοῦ·
τοὺς ἄνδρας ἐπιτρίβουσιν ὥσπερ καὶ πρὸ τοῦ·
μοιχοὺς ἔχουσιν ἔνδον ὥσπερ καὶ πρὸ τοῦ·
αὑταῖς παροψωνοῦσιν ὥσπερ καὶ πρὸ τοῦ·
πιεῖν φιλοῦσ' εὔζωρον ὥσπερ καὶ πρὸ τοῦ·

ADNOTATIO CRITICA.

v. 213 ante λέγε Bergkius inseruit: ΓΥ. Β. — v. 227 πιεῖν φιλοῦσ' εὔζωρον Cobetus.

SCRIPTURAE DISCREPANTIA.

v. 212 ἐπιτρόποις] ἐπὶ τρόποις Γ | ταμίαισι] ταμίαις ΑΒ ‖ v. 213 ΓΥ. Α.] — RA γυνή N omm. ΒΓ | εὖ γ'] εὖ γε ΑΓ | ΓΥ. Β.] omm. RABΓN | ὠγαθέ] ὦ 'γαθέ ΑΓ ὦ 'γαθὲ BN ‖ v. 214 ΠΡΑ.] — A omm. RBΓ | εἰσὶν] εἰσιν R | βελτίονες] βελτίωνες N ‖ v. 215 μὲν γὰρ] μέν γαρ R | τἄρια] τ' ἄρια Γ ‖ v. 216 βάπτουσι] βλάπτουσι N | θερμῷ] θερμῶ ΑΒΓΝ ‖ v. 217 ἁπαξάπασαι] ἅπαξ ἅπασαι R | κοὐχὶ] κ' οὐχὶ R | μεταπειρωμένας] μετὰ πειρωμένας N ‖ v. 219 οὐκ] οὐκ' R | ἂν ἐσῴζετο] ἂν ἐσώιζετο R ἀνεσώζετο N ‖ v. 220 μή τι] μή τι γε B μὴ τι N | καινὸν] κακὸν ΒΓ | ἄλλο] ex ἀλλότριον corr. R^2 ‖ v. 221 ὥσπερ] ὡσπερ R | πρὸ τοῦ] προτοῦ RABΓN ‖ v. 222 πρὸ τοῦ] προτοῦ ΑΒΓΝ ‖ v. 223a om. R, in margine adscr. R^2 | Θεσμοφόρι'] θεσμοφόρ' Γ | πρὸ τοῦ] προτοῦ RABΓN ‖ v. 223b omm. ΑΒΓΝ | πρὸ τοῦ] προτοῦ R ‖ v. 224 ὥσπερ] ὡσπερ Γ | πρὸ τοῦ] προτοῦ RABΓN ‖ v. 225 πρὸ τοῦ] προτοῦ RABΓN ‖ v. 226 αὑταῖς] αὐταῖς RAΓN | παροψωνοῦσιν] παροψονοῦσιν A in ras. est παρο in παροψωνοῦσιν Γ | πρὸ τοῦ] προτοῦ RABN ‖ v. 227 πιεῖν φιλοῦσ' εὔζωρον] τὸν οἶνον εὐζωρον φιλοῦσ' R τὸν οἶνον εὔζωρον φιλοῦσιν ΑΒΓ τὸν οἶνον εὔζωρον φιλοῦσ' N | πρὸ τοῦ] προτοῦ RABΓN

βινούμεναι χαίρουσιν ὥσπερ καὶ πρὸ τοῦ.
ταύταισιν οὖν, ὦνδρες, παραδόντες τὴν πόλιν
μὴ περιλαλῶμεν, μηδὲ πυνθανώμεθα
τί ποτ' ἄρα δρᾶν μέλλουσιν, ἀλλ' ἁπλῷ τρόπῳ
ἐῶμεν ἄρχειν, σκεψάμενοι ταυτὶ μόνα,
ὡς τοὺς στρατιώτας πρῶτον οὖσαι μητέρες
σῴζειν ἐπιθυμήσουσιν· εἶτα σιτία
τίς τῆς τεκούσης θᾶττον ἐπιπέμψειεν ἄν;
χρήματα πορίζειν δ' εὐπορώτατον γυνή,
ἄρχουσά τ' οὐκ ἂν ἐξαπατηθείη ποτέ.
αὐταὶ γάρ εἰσιν ἐξαπατᾶν εἰθισμέναι.
τὰ δ' ἄλλ', ἐάσω ταῦτα· κἂν πίθησθέ μοι,
εὐδαιμονοῦντες τὸν βίον διάξετε.
ΓΥ. Α. εὖ γ', ὦ γλυκυτάτη Πραξαγόρα, καὶ δεξιῶς.
πόθεν, ὦ τάλαινα, ταῦτ' ἔμαθες οὕτω καλῶς;

ADNOTATIO CRITICA.

v. 235 *θᾶττον* Suidas. — v. 236 post *πορίζειν* inserui *δ'*. — v. 239 virgula illa post *ἄλλ'* posita verba distingui iussit Holdenus. — *πίθησθέ μοι* Cobetus.

SCRIPTURAE DISCREPANTIA.

v. 228 *πρὸ τοῦ*] *προτοῦ* *RABΓ* ‖ v. 229 *οὖν*] *οὐν* *Γ* | *ὦνδρες*] *ὦ "νδρες* *ΑΓΝ* *ὦ 'νδρες* *B* | *παραδόντες*] *παραδοῦντες* *N* ‖ v. 230 *περιλαλῶμεν*] *περὶ λαλῶμεν* *R* | *μηδὲ*] *μὴ δε* *R* *μὴ δὲ* *ΑΒΓΝ* ‖ v. 231 *ἄρα*] *ἆρα* *R* | *ἀλλ' ἁπλῷ τρόπῳ*] *ἀλλ' απλῷ τρόπῳ* *R* *ἀλλὰ τῶ τρόπω* *AB* *ἀλλὰ τῷ τρόπῳ* *Γ* *ἀλλ' ἁπλῶ τρόπω* *N* ‖ v. 232 *μόνα*] *μόνον* *B* ‖ v. 233 *στρατιώτας*] corr. ex *στρατιῶτας* *R* *στρατιῶτας* est in *ΓΝ* ‖ v. 234 *σῴζειν*] *σώζουσιν* *ΑΒΓ* | *ἐπιθυμήσουσιν*] *ἐπιθυμοῦσιν* *ΑΒΓΝ* | *εἶτα*] *εἰτα* *R* *εἰ τὰ* *ΑΓ* | *σιτία*] post *α* rasura unius fere litterae est *B* *σιτία τέ* est in *Γ* ‖ v. 235 non legitur parte codicis abscissa, itêm v. 237 e. c. in *A* | *τίς*] om. *Γ* | *τεκούσης*] corr. ex *τεκουσης* R^2 | *θᾶττον*] *μᾶλλον* *RBΓΝ* | *ἐπιπέμψειεν ἄν*] *ἐπιπέμψειας ἄν* *Γ* ‖ v. 236 *πορίζειν δ'*] *πορίζειν* *RABΓΝ* ‖ v. 237 non legitur in *A* ‖ v. 238 *αὐταὶ*] *αὗται* *ΑΒΓ* | *γάρ εἰσιν*] *γὰρ εἰσὶν* ante *εἰσὶν* erat *ε*, quod del. prima manus *R* *γὰρ εἰσὶν* est etiam in *N* ‖ v. 239 non legitur in *A* | *ἐάσω*] *ἐάσω γε* *B* | *κἂν*] *κὰν* *R* | *πίθησθέ*] *πείθησθέ* corr. ex *πειθησθέ* R^2 *πείθησθέ* est in *ΒΓΝ* | *μοι,*] corr. ex *μοι;* *R* *μου·* est in *Γ* ‖ v. 240 *διάξετε*] prius *ε* in rasura est, sed a prima manu *B* *διέξετε* est in *N* ‖ v. 241 non legitur in *A* | *ΓΥ. Α.*] — *R* *γυνὴ* *N* omm. *ΒΓ*

ΠΡΑ. ἐν ταῖς φυγαῖς μετὰ τἀνδρὸς ᾤκησ' ἐν πυκνί·
ἔπειτ' ἀκούουσ' ἐξέμαθον τῶν ῥητόρων.
ΓΥ. Α. οὐκ ἐτὸς ἄρ', ὦ μέλ', ἦσθα δεινὴ καὶ σοφή·
καί σε στρατηγὸν αἱ γυναῖκες αὐτόθεν
αἱρούμεθ', ἢν ταῦθ' ἁπινοεῖς κατεργάσῃ.
ἀτὰρ ἢν Κέφαλός σοι λοιδορῆται προσφθαρείς,
πῶς ἀντερεῖς πρὸς αὐτὸν ἐν τἠκκλησίᾳ;
ΠΡΑ. φήσω παραφρονεῖν αὐτόν. *ΓΥ. Α.* ἀλλὰ τοῦτό γε
ἴσασι πάντες. *ΠΡΑ.* ἀλλὰ καὶ μελαγχολᾶν.
ΓΥ. Α. καὶ τοῦτ' ἴσασιν. *ΠΡΑ.* ἀλλὰ καὶ τὰ τρύβλια
κακῶς κεραμεύειν, τὴν δὲ πόλιν εὖ καὶ καλῶς;
ΓΥ. Α. τί δ', ἢν Νεοκλείδης ὁ γλάμων σε λοιδορῇ;
ΠΡΑ. τούτῳ μὲν εἶπον ἐς κυνὸς πυγὴν ὁρᾶν.

ADNOTATIO CRITICA.

